διὰ τὸ κθ΄ τοῦ α΄

ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὴν κοινὴν γωνίαν τὴν
ὑπὸ ΒΑΔ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΗΖ τῇ ΔΓ. ἴση ἐστὶν
ἡ μὲν ὑπὸ ΑΗΖ γωνία τῇ ὑπὸ ΑΔΓ. ἡ δὲ ὑπὸ ΗΖΑ τῇ
ὑπὸ ΔΓΑ. καὶ κοινὴ ἡ τῶν δύο τριγώνων τῶν ΑΔΓ ΑΖΗ
ἡ ὑπὸ ΔΑΓ. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΔΓ τρίγωνον τῷ
ΑΗΖ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΓΒ τρίγωνον
ἰσογώνιόν ἐστι τῷ ΑΖΕ τριγώνῳ. καὶ ὅλον τὸ ΑΒΓΔ
παραλληλόγραμμον τῷ ΕΗ παραλληλογράμμῳ ἰσο-
γώνιόν ἐστιν. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ. — διὰ τὸ δ΄ τοῦ ς΄:
οὕτως ἡ ΑΗ πρὸς τὴν ΗΖ. ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΑ. οὕ-
τως ἡ ΗΖ πρὸς τὴν ΖΑ. ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ. οὕ-
τως ἡ ΑΖ πρὸς τὴν ΖΕ. καὶ ἔτι ὡς ἡ ΓΒ πρὸς τὴν ΒΑ. οὕ-
τως ἡ ΖΕ πρὸς τὴν ΕΑ. καὶ ἐπεὶ ἐδείχθη ὡς μὲν ἡ ΔΓ
πρὸς τὴν ΓΑ. οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ. ὡς δὲ ἡ ΑΓ
πρὸς τὴν ΓΒ. οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ. δι' ἴσου ἄρα
διὰ τὸ κβ΄ τοῦ ε΄: — ἐστὶν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΒ. οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΕ.
τῶν ἄρα ΑΒΓΔ ΕΗ παραλληλογράμμων ἀνάλογόν
εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ὅμοιον ἄ-
διὰ τὸν ὅρον τοῦ ς΄ — ρα ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΗ παρα-
λληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΒΓΔ παραλλη-
λόγραμμον καὶ τῷ ΚΘ παραλληλογράμμῳ ὅμοιόν
ἐστι. ἑκάτερον ἄρα τῶν ΕΗ
ΘΚ παραλληλογράμμων τῷ
ΑΒΓΔ παραλληλογράμμῳ ὅ-
μοιόν ἐστι· τὰ δὲ τῷ αὐτῷ ἀ-
διὰ τὸ κα΄ τοῦ ς΄: — θυγράμμῳ ὅμοια. καὶ ἀλλήλοις



εἰσὶν ὅμοια. καὶ τὸ ΕΗ ἄρα παραλληλόγραμμον τῷ ΘΚ
παραλληλογράμμῳ ὅμοιόν ἐστι. παντὸς ἄρα παρα-
λληλογράμμου τὰ περὶ τὴν διάμετρον παραλληλό-
γραμμα. ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις. ὅπερ ἔδει δεῖξαι :~

κε
Τῷ δοθέντι εὐθυγράμμῳ ὅμοιον καὶ ἄλλῳ τῷ δοθέντι
ἴσον τὸ αὐτὸ συστήσασθαι. ἔστω τὸ μὲν δοθὲν εὐθύγραμ-
μον ᾧ δεῖ ὅμοιον συστήσασθαι τὸ ΑΒΓ. ᾧ δὲ δεῖ ἴσον
τὸ Δ. δεῖ δὴ τῷ μὲν ΑΒΓ ὅμοιον. τῷ δὲ Δ ἴσον τὸ αὐ-
τὸ συστήσασθαι. παραβεβλήσθω γὰρ παρὰ μὲν τὴν — διὰ τὸ μδ΄ τοῦ α΄:
ΒΓ τῷ ΑΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕ.
παρὰ δὲ τὴν ΓΕ τῷ Δ ἴσον παραλληλόγραμμον τὸ ΓΜ — διὰ τὸ με΄ τοῦ α΄:
ἐν γωνίᾳ τῇ ὑπὸ ΖΓΕ. ἥ ἐστιν ἴση τῇ ὑπὸ ΓΒΛ. ἐπ' εὐ-
θείας ἄρα ἐστὶν ἡ μὲν ΒΓ τῇ ΓΖ. ἡ δὲ ΛΕ τῇ ΕΜ. καὶ εἰ- — διὰ τὸ ιδ΄ τοῦ α΄:
λήφθω τῶν ΒΓ ΓΖ μέση ἀνάλογον ἡ ΗΘ. καὶ ἀναγε- — διὰ τὸ ιγ΄ τοῦ ς΄:
γράφθω ἀπὸ τῆς ΗΘ τῷ ΑΒΓ ὅμοιόν τε καὶ ὁμοίως
κείμενον τὸ ΚΗΘ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΗΘ. — διὰ τὸ ιη΄ τοῦ ς΄:
οὕτως ἡ ΗΘ πρὸς τὴν ΓΖ. ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνά-
λογον ὦσιν. ἐστὶν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην. οὕ- — διὰ τὸ π τοῦ κ΄ τοῦ ς΄:
τως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευ-
τέρας τὸ ὅμοιον καὶ ὁμοίως
ἀναγραφόμενον. ἔστιν ἄ-
ρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ.
οὕτως τὸ ΑΒΓ τρίγωνον
πρὸς τὸ ΚΗΘ τρίγωνον·
ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν
ΓΖ. οὕτως τὸ ΒΕ παρα- — διὰ τὸ α΄ τοῦ ς΄:



BIBLIOTHECA BODLEIANA